μενος ἕκαστος ὑμῶν φανερὰν ποιήσει τὴν αὑτοῦ διάνοιαν
τοῖς θεοῖς. ἡγοῦμαι δ' ὦ ἄνδρες ὑπὲρ ἁπάντων τῶν μεγί- 147
στων καὶ δεινοτάτων ἀδικημάτων μίαν ὑμᾶς ψῆφον ἐν τῇ
τήμερον ἡμέρᾳ φέρειν, οἷς ἅπασιν ἔνοχον ὄντα Λεωκρά-
την ἔστιν ἰδεῖν, προδοσίας μὲν ὅτι τὴν πόλιν ἐγκαταλι-
πὼν τοῖς πολεμίοις ὑποχείριον ἐποίησε, δήμου δὲ καταλύ-
σεως ὅτι οὐχ ὑπέμεινε τὸν ὑπὲρ τῆς ἐλευθερίας κίνδυνον,
ἀσεβείας δ' ὅτι τοῦ τὰ τεμένη τέμνεσθαι καὶ τοὺς νεὼς |
κατασκάπτεσθαι τὸ καθ' ἑαυτὸν γέγονεν αἴτιος, τοκέων p. 169
δὲ κακώσεως {ὅτι} τὰ μνημεῖα αὐτῶν ἀφανίζων καὶ τῶν
νομίμων ἀποστερῶν, λιποταξίου δὲ καὶ ἀστρατείας οὐ παρα-
σχὼν τὸ σῶμα τάξαι τοῖς στρατηγοῖς. ἔπειτα τούτου τις 148
ἀποψηφιεῖται, καὶ συγγνώμην ἕξει τῶν κατὰ προαίρεσιν
ἀδικημάτων; καὶ τίς οὕτως ἐστὶν ἀνόητος, ὥστε τοῦτον
σῴζων τὴν ἑαυτοῦ σωτηρίαν προέσθαι τοῖς ἐγκαταλιπεῖν
βουλομένοις, καὶ τοῦτον ἐλεήσας αὐτὸς ἀνηλέητος ὑπὸ τῶν
πολεμίων ἀπολέσθαι προαιρήσεται, καὶ τῷ προδότῃ τῆς
πατρίδος χάριν θέμενος ὑπεύθυνος εἶναι τῇ παρὰ τῶν θεῶν
τιμωρίᾳ;

Ἐγὼ μὲν οὖν καὶ τῇ πατρίδι βοηθῶν καὶ τοῖς ἱεροῖς καὶ 149
τοῖς νόμοις, ἀποδέδωκα τὸν ἀγῶνα ὀρθῶς καὶ δικαίως,
οὔτε τὸν ἄλλον τούτου βίον διαβαλών, οὔτ' ἔξω τοῦ πράγ-
ματος οὐδὲν κατηγορήσας· ὑμῶν δ' ἕκαστον χρὴ νομίζειν
τὸν Λεωκράτους ἀποψηφιζόμενον θάνατον τῆς πατρίδος
καὶ ἀνδραποδισμὸν καταψηφίζεσθαι, καὶ δυοῖν καδίσκοιν
κειμένοιν τὸν μὲν προδοσίας, τὸν δὲ σωτηρίας εἶναι, καὶ
τὰς ψήφους φέρεσθαι τὰς μὲν ὑπὲρ ἀναστάσεως τῆς πατρί-



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404556388/95 UNIVERSITÄT LEIPZIG